καὶ ἐλλιπὴς ὁ οἶκος αὐτοῦ ἀπὸ παντός, οὗ ἐμπλήσει ψυχὴν
αὐτοῦ·
18 ἐν μονώσει ἀτεκνίας τὸ γῆρας αὐτοῦ εἰς ἀνάλημψιν.
19 Σκορπισθείησαν σάρκες ἀνθρωπαρέσκων ὑπὸ θηρίων,
καὶ ὀστᾶ παρανόμων κατέναντι τοῦ ἡλίου ἐν ἀτιμίᾳ.
20 ὀφθαλμοὺς ἐκκόψαισαν κόρακες ὑποκρινομένων,
ὅτι ἠρήμωσαν οἴκους πολλοὺς ἀνθρώπων ἐν ἀτιμίᾳ
καὶ ἐσκόρπισαν ἐν ἐπιθυμίᾳ
21 καὶ οὐκ ἐμνήσθησαν θεοῦ
καὶ οὐκ ἐφοβήθησαν τὸν θεὸν ἐν ἅπασι τούτοις
καὶ παρώργισαν τὸν θεὸν καὶ παρώξυναν.
22 ἐξάραι αὐτοὺς ἀπὸ τῆς γῆς,
ὅτι ψυχὰς ἀκάκων παραλογισμῷ ὑπεκρίνοντο.
23 Μακάριοι οἱ φοβούμενοι τὸν κύριον ἐν ἀκακίᾳ αὐτῶν·
ὁ κύριος ῥύσεται αὐτοὺς ἀπὸ ἀνθρώπων δολίων καὶ ἁμαρ-
τωλῶν
καὶ ῥύσεται ἡμᾶς ἀπὸ παντὸς σκανδάλου παρανόμου.
24 ἐξάραι ὁ θεὸς τοὺς ποιοῦντας ἐν ὑπερηφανίᾳ πᾶσαν ἀδικίαν,
ὅτι κριτὴς μέγας καὶ κραταιὸς κύριος ὁ θεὸς ἡμῶν ἐν δι-
καιοσύνῃ.
25 γένοιτο, κύριε, τὸ ἔλεός σου ἐπὶ πάντας τοὺς ἀγαπῶντάς σε.

5

## Ε΄

Ψαλμὸς τῷ Σαλωμων.

1 Κύριε ὁ θεός, αἰνέσω τῷ ὀνόματί σου ἐν ἀγαλλιάσει,
ἐν μέσῳ ἐπισταμένων τὰ κρίματά σου τὰ δίκαια·
2 ὅτι σὺ χρηστὸς καὶ ἐλεήμων, ἡ καταφυγὴ τοῦ πτωχοῦ·
ἐν τῷ κεκραγέναι με πρὸς σὲ μὴ παρασιωπήσῃς ἀπ᾽ ἐμοῦ.
3 οὐ γὰρ λήψεταί ⟨τις⟩ σκῦλα παρὰ ἀνδρὸς δυνατοῦ·
καὶ τίς λήψεται ἀπὸ πάντων, ὧν ἐποίησας, ἐὰν μὴ σὺ δῷς;
4 ὅτι ἄνθρωπος καὶ ἡ μερὶς αὐτοῦ παρὰ σοῦ ἐν σταθμῷ·
οὐ προσθήσει τοῦ πλεονάσαι παρὰ τὸ κρίμα σου, ὁ θεός.
5 Ἐν τῷ θλίβεσθαι ἡμᾶς ἐπικαλεσόμεθά σε εἰς βοήθειαν,
καὶ σὺ οὐκ ἀποστρέψῃ τὴν δέησιν ἡμῶν,
ὅτι σὺ ὁ θεὸς ἡμῶν εἶ.
6 μὴ βαρύνῃς τὴν χεῖρά σου ἐφ᾽ ἡμᾶς,
ἵνα μὴ δι᾽ ἀνάγκην ἁμάρτωμεν.
7 καὶ ἐὰν μὴ ἐπιστρέψῃς ἡμᾶς, οὐκ ἀφεξόμεθα,
ἀλλ᾽ ἐπὶ σὲ ἥξομεν.

18 μονωσει] μονια Sw. || 20$^2$ ηρημωσεν Sw. | 20$^3$ εσκορπισεν Sw. | εν > Sw. || 21$^3$ και παρωξυναν ad 22$^1$ trahit Sw. || 23$^2$] pr. και Sw.
5 2$^1$ συ χρηστος] ευχρηστος Sw. || 5$^1$ σε > Sw.